καὶ τὸ κινοῦν, ἀΐδιον, καὶ πρότερον τοῦ κινουμένου· καὶ τὸ πρότερον οὐσίας. οὐσίαν ἀναγκαῖον εἶναι. φανερὸν τοίνυν, ὅτι τοσαύτας οὐσίας ἀναγκαῖον εἶναι, τήν τε φύσιν ἀϊδίους καὶ ἀκινήτους καθ' αὑτὰς, καὶ ἄνευ μεγέθους, διὰ τὴν εἰρημένην αἰτίαν πρότερον. ὅτι μὲν οὖν εἰσὶν οὐσίαι, καὶ τούτων τίς πρώτη καὶ δευτέρα, κατὰ τὴν αὐτὴν τάξιν ταῖς φοραῖς τῶν ἄστρων, φανερόν. τὸ δὲ πλῆθος ἤδη τῶν φορῶν ἐκ τῆς οἰκειοτάτης φιλοσοφίας τῶν μαθηματικῶν ἐπιστημῶν δεῖ σκοπεῖν, ἐκ τῆς ἀστρολογίας. αὕτη γὰρ περὶ οὐσίας αἰσθητῆς μὲν ἀϊδίου δὲ, ποιεῖται τὴν θεωρίαν· αἱ δ' ἄλλαι περὶ οὐδεμιᾶς οὐσίας, οἷον, ἥτε περὶ τοὺς ἀριθμοὺς καὶ τὴν γεωμετρίαν. ὅτι μὲν οὖν πλείους τῶν φερομένων αἱ φοραὶ, φανερὸν τοῖς καὶ μετρίως ἡμμένοις. πλείους γὰρ ἕκαστον φέρεται μιᾶς τῶν πλανωμένων ἄστρων. πόσαι δ' αὗται τυγχάνουσιν οὖσαι, νῦν μὲν καὶ ἡμεῖς ἃ λέγουσι τῶν μαθηματικῶν τινες, ἐννοίας χάριν λέγομεν, ὅπως ᾖ τι τῇ διανοίᾳ πλῆθος ὡρισμένον ὑπολαβεῖν. τὸ δὲ λοιπὸν, τὰ μὲν ζητοῦντας αὐτοὺς δεῖ, τὰ δὲ πυνθανομένους παρὰ τῶν ζητούντων, ἄν τι φαίνηται παρὰ τὰ νῦν εἰρημένα τοῖς ταῦτα πραγματευομένοις, φιλεῖν μὲν ἀμφοτέρους, πείθεσθαι δὲ τοῖς ἀκριβεστέροις. Εὔδοξος μὲν οὖν ἡλίου καὶ σελήνης, ἑκατέρου τὴν φορὰν ἐν τρισὶν ἐτίθετο εἶναι σφαίραις· ὧν τὴν μὲν πρώτην, τὴν τῶν ἀπλανῶν ἄστρων εἶναι· τὴν δὲ δευτέραν, κατὰ τὸν διὰ μέσων τῶν ζῳδίων· τὴν δὲ τρίτην, κατὰ τὸν λελοξωμένον ἐν τῷ πλάτει τῶν ζῳδίων. ἐν μείζονι δὲ πλάτει λελοξῶσθαι, καθ' ὃν ἡ σελήνη φέρεται, ἢ καθ' ὃν ὁ ἥλιος. τῶν δὲ πλανωμένων ἄστρων ἐν τέταρσιν ἑκάστου σφαίραις· καὶ τούτων δὲ τὴν μὲν πρώτην καὶ δευτέραν τὴν αὐτὴν εἶναι ἐκείναις. τήν τε γὰρ τῶν ἀπλανῶν τὴν ἁπάσας φέρουσαν εἶναι, καὶ τὴν ὑπὸ ταύτῃ τεταγμένην, καὶ κατὰ τὸν διὰ μέσων τῶν ζῳδίων τὴν φορὰν ἔχουσαν, κοινὴν ἁπασῶν εἶναι. τῆς δὲ τρίτης ἁπάντων τοὺς πόλους ἐν τῷ διὰ μέσων τῶν ζῳδίων εἶναι. τῆς δὲ τετάρτης τὴν φορὰν, κατὰ τὸν λελοξωμένον πρὸς τὸν μέσον ταύτης. εἶναι δὲ τῆς τρίτης σφαίρας τοὺς πόλους, τῶν μὲν ἄλλων ἰδίους· τοὺς δὲ τῆς Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ, τοὺς αὐτούς.

A & quod mouet, perpetuum, & prius est moto: & quod prius substantia est, substantia sit necesse est. Constat itaque, necesse esse, tot substantias esse natura perpetuas, & per se immobiles, ac absque magnitudine, ob causam prius dictam. Quòd igitur substantiæ sunt, & harum quænam prima, quæve secunda, secundum eum ordinem, quem & lationes syderum habent, patet. Pluralitatem verò lationum, ex peculiarissima philosophia mathematicarum scientiarum, videlicet ex astrologia, considerandum est:

B hæc enim de substantia sensibili quidem, at sempiterna speculatur: cæteræ verò de nulla quidem substantia, veluti quæ circa numeros, atque quæ circa geometriam. Et quidem quòd plures sint eorum quæ feruntur, lationes, manifestum etiam est iis, qui parum attigerunt: pluribus enim, quàm vna, errantium astrorum vnumquodque fertur.

C Quot verò hæ sint, nunc quidem nos ea, quæ quidam mathematicorum aiunt, intelligendi gratia dicimus, & vt aliquam determinatam mente pluralitatem percipiamus. Deinceps quædam quidem nos ipsos quærere decet, quædam autem à quærentibus sciscitari, si quid præter ea, quæ nunc dicta sunt, iis videatur, qui circa hæc versantur:

D diligere quidem vtrosque, adhærere verò certioribus. Eudoxus igitur Solis & Lunæ vtriusque lationem in tribus posuit sphæris esse: quarum primam quidem eam esse, quæ non errantium stellarum. Secundam vero, secundum id, quod per medium zodiacum. Tertiam porrò secundum eum, qui in latitudine zodiaci obliquatur: in maiori autem latitudine obliquari eum, secundum quem Luna fertur, quàm secundum

E quem Sol. Errantium verò stellarum vniuscuiusque in quatuor sphæris: quarum primam quidem, & secundam, eandem illis esse. Etenim quæ non errantium est, eam illam esse, quæ omnes fert. At eam, quæ sub ipsa ordinata est, ac quæ secundum zodiacum lationem habet, communem omnibus esse. Tertiæ verò omnium polos in eo, quod per medium zodiacum

F esse. Quartæ autem lationem, secundum eum, qui obliquatus ad medium eius est. Esse verò tertiæ sphæræ polos aliarum quidem proprios, Veneris autem, & Mercurij, eosdem. At Callippus,